αὐθεντήσας τοῦ τε ☿ καὶ τοῦ τῆς ☾, ἐὰν μὲν ἐνδόξως ἔχῃ πρός τε τὸ κοσμικὸν καὶ τὰ κέντρα, ποιεῖ φιλοσωμάτους, ἰσχυρογνώμονας. βαθύφρονας. αὐστηρούς. μονογνώμονας. ἐπιμόχθους. ἐπιτακτικούς. κολαστικούς. πλουσιαστικούς. φιλοχρημάτους. βιαίους. θησαυριστικούς. φθονερούς. ἐναντίως δὲ καὶ ἀδόξως κείμενος ῥυπαρούς. σμικρολόγους. ἀδιαφόρους. μονογνώμονας. βασκάνους. δειλούς. ἀνακεχωρηκότας. κακολόγους. φιλερήμους. φιλοθρήνους. ἀναιδεῖς. δεισιδαίμονας. φιλομόχθους. ἀστόργους. ἐπιβουλευτικοὺς τῶν οἰκείων. ἀνευφράντους. μισοσωμάτους. τῷ δὲ ♃ κατὰ τὸν ἐκκείμενον τρόπον συνοικειωθείς, ἐπὶ μὲν ἐνδόξων πάλιν διαθέσεων, ποιεῖ ἀγαθούς. τιμητικοὺς τῶν πρεσβυτέρων. καθεστῶτας. καλογνώμονας. ἐπικούρους. ἀπίκρους. κριτικούς. φιλοκτήμονας. μεγαλοψύχους. μεταδοτικούς. εὐπροαιρέτους. φιλοικείους. πράους. συνετούς. ἀνεκτικούς. ἐμφιλοσόφους. ἐπὶ δὲ τῶν ἐναντίων, ἀπειροκάλους. μανιώδεις. ψοφοδεεῖς. δεισιδαίμονας. ἱεροφοιτοῦντας. ἐξαγορευτάς. ὑπόπτους. μισοτέκνους. ἀφίλους. ἐνδομύχους. ἀκρίτους. ἀπίστους. μωροκάλους. ἰδιώτας. ὑποκριτικούς. ἀφανεῖς. φιλοτίμους. μεταμελητικούς. εὐήθεις δ᾽ ὁμοίως καὶ ἀνεξικάκους. τῷ δὲ τοῦ ♂ κατὰ τὸν ἐκκείμενον τρόπον συνοικειωθείς, ἐπὶ μὲν ἐνδόξων διαθέσεων, ποιεῖ ἀδιαφόρους, ἐπιπόνους, παρρησιαστικούς, ὀχληρούς, θρασυδείλους, αὐστηροπράκτους, ἀνελεήμονας, καταφρονητάς, τραχεῖς, πολεμικούς, ῥιψοκινδύνους, φιλοθορύβους, δολίους, ἐνεδρευτάς, δυσμηνίτας, ἀδήκτους, ὀχλοκόπους, τυραννικούς, πλεονέκτας, μισοπολίτας, φιλέριδας, μνησικάκους, βαθυπονήρους, δράστας, ἀνυποίστους, σοβαρούς, φορτικούς, καυχηματίας, κακοφράστας, ἀδίκους, ἀκατακρίτους, μισανθρώπους, ἀτρέπτους, ἀμεταθέτους, ἀπολυπράγμονας, εὐαναστρόφους μέντοι καὶ πρακτικούς, καὶ ἀκαταγωνίστους, καὶ ὅλως ἐπιτευκτικούς. ἐπὶ δὲ τῶν ἐναντίων, ἅρπαγας, λῃστάς, νοθευτάς, κακοπαθεῖς, αἰσχροκερδεῖς, ἀθέους, ἀστόργους, ὑβριστάς, ἐπιβουλευτικούς, κλέπτας, ἐπιόρκους, μιαιφόνους, ἀθεμιτοφάγους, κακούργους, ἀνδροφόνους, φαρμακευτάς, ἀσεβεῖς, ἱεροσύλους, τυμβωρύχους καὶ παγκάκους. τῷ δὲ τῆς ♀ συνοικειωθείς, ἐπὶ μὲν ἐνδόξων διαθέσεων, ποιεῖ μισογυναίους, φιλαρχαίους, φιλερήμους, ἀηδεῖς πρὸς τὰς ἐντεύξεις, ἀφιλοτίμους, μισοκάλους, φθονερούς, αὐστηρούς, ἀστόργους δὲ πρὸς συνουσίας, ἀσυμπεριφόρους, μονογνώμονας, φοιβαστικούς, θρησκευτάς, μυστηρίων καὶ τελετῶν ἐπιθυμητικούς, ἱεροποιούς, ἐνθεαστικούς, ἱεροπροσπόλους, σεμνοὺς δὲ καὶ εὐ-